CHANTIES IN GREEK AND LATIN

"The labour we delight in physics pain"

What will a child learn sooner than a song?
What better teach a foreigner the tongue?

Pope

O praeclaram beate vivendi et apertam et
simplicem et Directam Viam!

Cicero

CHANTIES

IN GREEK AND LATIN

Written for Ancient Traditional Airs

By W. H. D. ROUSE

Late Headmaster of the Perse School, Cambridge

SECOND EDITION

Revised and Augmented

THOMAS NELSON AND SONS LTD

LONDON EDINBURGH PARIS MELBOURNE

TORONTO AND NEW YORK

The Latin Words of these Chanties are published separately without the music, price 9d.

PRINTED BY
WM. BRIDGE AND CO.
OXFORD

Printed in Great Britain

CONTENTS

	PAGE
Preface	7
Boys and Girls come out to play	13
Peter White will ne'er go right	14
Torty-Tortoise	15
The Ages of Man	16
What shall we do with a Drunken Sailor?	17
The Lazy Boy	18
What the Animals Say	19
The Man with a Pigtail	20
How to Plant the Garden	21
The Wolf	22
The Dead Warrior	23
The Snail	24
Man's Life's a Vapour	25
Little Bo-Peep	25
Ten Little Boys	26
Thinks I to myself	27
Salamis	28
Baa Baa Black Sheep	30
Song of Pyrgopolyneices	31
O dear, what can the matter be?	32
The Crocodiles	33
The Siren	34
Country Life	36
My Boy Willie	38
Round the Ring	40
Which is the way to Athens Town?	42
The Wooer	43
The Tooth Doctor	44
The Mad Mice	46
Aristogeiton	47
The Swallow	48
John Peel	49
Three Jolly Postboys	50
Lullaby	51
The Death of Ravey-Raven	52

	PAGE
Get up and Bar the Door, O!	54
The Truant	55
Onions for Sale	56
An Alphabet	58
God save the King	60
Chanticleer	61
Please to give us a Holiday	62
Wonders on the Road	64
The Ass makes his Will	66
Lullaby	67
The Three Rogues	68
The Bells	69
The Old Woman who lived in a Shoe	70
The Persistent Pontifex	72
The Revellers	74
Jack and Jill	77
Noah and Moses	78
The Ark	80
Verte te Scipio	82
Marcus Noster	82
Caesar's Triumph	83
What's in a Name?	84
Sentinel's Song	85
The Wonderful Man	86
The Three Sailors	88
The Dumb Wife	90
Jiggety Jog to Market	92
The Sale	94
The Sparrow	95
The Frog	96
Oats and Beans and Barley Grow	97
Hera et Hara	98
London's Burning	99
Auld Lang Syne	100

PREFACE

CHILDREN'S songs and singing games are used with great effect in teaching French to English children, and English to foreign children. They are easily learnt and easily remembered, and to sing them gives great pleasure. Greek and Roman children must have had their own songs and games; indeed one or two are preserved, such as the "Swallow Song of Rhodes," "The Tortoise," and words of Latin lullaby.

The songs in this book are an attempt to write something which the children of ancient days might have sung, and to fit them to traditional tunes. The themes are such as they could easily have understood; and it has proved that many traditional tunes give rhythms that are quite Greek and Latin, and even stanzas that metrically might have been used in a chorus of Aristophanes. The tune of "The Vicar of Bray" for example exactly suits the Aristophanic parabasis; and altogether it is wonderful how well modern tunes go.

Several benefits are attained. Firstly, since the quantities are carefully observed, the learner's ear is attuned to the essential difference between quantitatives and accentual rhythms. This is most important, and it ought to lead to a better reading and

speaking of Greek and Latin, for it is a fact that neither masters nor pupils as a rule pronounce the quantities correctly. But if they will read prose also in crochets and quavers, instead of substituting stress for length and shortening unstressed longs, they will hear for the first time the beauty of Greek and the majesty of Latin. Secondly, a large vocabulary is easily learnt, and a considerable number of irregular verbs: thus the *Δέκα ποτὲ παῖδες* contains ten aorist participles like *πιών*, several other irregular verbs, and several idioms, including in its three forms *τυγχάνω ὤν*, *λανθάνω ὤν*, and *εἰμὶ λαθών*. Greek tonic accent is necessarily neglected, but so it was in Greek singing, as such a thing must be in all singing. No harm is done by that: it can be taught otherwise. Further, there is a firm foundation of knowledge, a standard of comparison to which we can refer what is met with in reading; I have found that a word or form thus learnt, if later met with, at once calls forth the familiar stanza, which is sung unasked as an old friend. Lastly pleasant associations are made for the study; and this is the most valuable of all, since it reacts on the temper and makes the work real by touching the feelings of the learner.

The materials have been drawn from many sources. Some are free translations or paraphrases, as "My Boy Willie," "John Peel," and the "Jolly Postboys"; some were expanded from a phrase or a hint, as "The Way to Athens Town" (Plutarch, Quaest. Gr. 35), and "Caesar's Triumph" (Suet. Julius 49); some came out of my own head, such as the

"Ages of Man," "What the animals say," "The Frog." Others are adapted from ancient material, as "The Swallow Song" and "Torty-Tortoise." Readers will recognise some echoes from their own nursery, and there are others from France, Italy, and Spain. But I hope that those which have no such foundation will not be found alien to the spirit of childhood. The themes and character of children's songs seem much the same all over Europe, and I am sure that many of them have a long tradition. The same may be said of traditional songs which physic the pain of the labourer. The Greek women sang songs over the corn-mill, the harvesters sang their songs, so did farm labourers, herdsmen, and others. The Kalyke is known by name, the Linos, the Ioulos, the Kata-baukalesis, the Boukaliasmos (Athen. xiv. 618). Children went about collecting for the Korone and Chelidon (Athen. xii. 359), and described the doings of daily life; and I have no doubt that they sang nonsense and fancy tales. English, French, Italian, and Spanish traditional songs have the same character. If the Latin sentinel did not sing a song like mine, at least he sang something (Lucr. v. 1408).

Nearly all the melodies are traditional; they are drawn from the countries mentioned above, with the addition of one or two German, one Irish, and one Greek. The titles will show when the subject is like that of the original words.

I have to thank Mr. D'Arcy Thompson for sending me the first draft of the Tortoise game;

Mr. H. Rackham for reading the text; Messrs. Novello for allowing me to print the tune of "My Boy Willie"; and Mr. Blackwell especially, for his courage in publishing the book.

Amicus est amico,
nec ullus hoc negat.

1922.

PREFACE TO THE SECOND EDITION

THIS little book, which attempted something new, and I think useful, has not attracted the notice of those in high places. It was not mentioned in the *Classical Review*, and if you can believe me, it was not noticed in *Punch*; but I am pleased to learn that a couple of thousand persons in less exalted positions have found it worth while to procure a copy, not to mention those who have been content with the separate booklet of Latin songs. Some of the Greek ditties have had the unique distinction of being sung by marching regiments in the Public Schools' Camps: here they have the advantage of Homer, Pindar and Sophocles. I am often reminded of a letter which I once saw in the *Daily Mail*, where a perplexed reader asks the Editor "What is it that people mean when they talk of this eyebrow music?" One can imagine his adding "*Pone supercilium.*" Aristophanes was not the only Greek who could laugh. Homer was full of fun, and it is easy to picture his rollicking barons after supper "dying with laughter" at Ares well licked, as he shoots up to Olympus like a bomb to tell papa. Sophocles could laugh too, or at least smile, as his Launcelot Gobbo shows before Creon; but his delicate irony has taken in his serious editors. Horace knew that it was good *desipere in loco*, and what *locus* is better for fun than a *ludus*? If we do not enjoy fun with the dear boys, be sure they

will make fun of us, and quite right too. As a matter of fact, the pith and marrow of the English is a mellow humour; and I have found that those who do their work in this natural temper can pass in a moment to solemn and profound feeling smoothly without a shock.

I am particularly gratified that Mr. Blackwell, who took up this little book like a true sportsman, has not lost by it. May he be rewarded according to his deeds! The *Chanties* are proud to bring up the rear of his procession of noble Greeks, which would have cheered the heart of the generous Bullen if he could have lived to see them. Even Henry VIII's magnificence would have been incomplete, but for a jester with cap and bells in the throng of his knights.

In this edition, some of those Chanties which were least used have been omitted, and a number of new ones added. "The Drunken Sailor" is the work of Mr. E. D. Berridge (Perse School); and I thank Mr. F. V. Merriman, the Chief Education Officer at Reading, for the suggestion of "London's Burning," sent with a stanza, part of which I borrowed.

"The Crocodiles" (p. 33) may be sung in the first week of Greek study.

W. H. D. ROUSE.

HISTON MANOR,
June 30, 1930.

BOYS AND GIRLS COME OUT TO PLAY.



1. *δεῦρο δεῦρο δεῦρο δή,*
καιρός ἐστι παιδιᾶς.
χαιρέτω διδάσκαλος,
χαιρέτω μαθήματα.

2. *λαμπρός ἐστιν ἥλιος,*
παίξομεν μάλ' ἄσμενοι. χαιρέτω . . .

3. *νεῖν θάλαττα προσκαλεῖ*
μυρίοις γελάσμασιν. χαιρέτω . . .

4. *ἐν τόποις παρακτίοις*
ὀστρακίνδα παίξομεν. χαιρέτω . . .

5. *εἴ τις ἐστι βόρβορος*
ἐγχέλεις ἀγρεύομεν. χαιρέτω . . .

6. *εἴσ' ἀγῶνες ἱππικοὶ,*
δίσκος ἐστὶ καὶ πάλη. χαιρέτω . . .

7. *εἶτ' ἄκοντας ἵεμεν*
πὺξ δὲ μαχόμεθ' εὐφιλῶς. χαιρέτω . . .

8. *δεῦρο δεῦρο δεῦρο δή*
καιρός ἐστι παιδιᾶς. χαιρέτω.

PETER WHITE ; WILL NE'ER GO RIGHT.

German Traditional Air.

1. ἦν ποτε παῖς [δίς]
κοὐκ ἐδυνήθη
πρόσθε βαδίζειν,
δύσμορος ὤν.

2. καὶ τί παθών;
τὴν μὲν ἑαυτοῦ
ῥῖνα μετήει
βλὰξ ἄρα φύς.

3. ἀλλὰ τί μήν;
ῥὶς γὰρ ἐκάμφθη
θαυμασίως πρὸς
δεξιὸν οὖς.

4. ταῦτ' ἄρ' ὁ παῖς
δῆλος ἐφάνθη
στρεπτὰ βαδίζων
καρκίνος ὥς.

5. εἶτ' ἐθέλων
οἴκαδ' ἀπελθεῖν,
ἐς φρέαρ ἄκων
εἰσέπεσεν.

TORTY-TORTOISE.

Mulberry Bush.

A. *τί ποΐεις σύ γ' ἐν μέσῳ, ἐν μέσῳ, ἐν μέσῳ;*
τί ποΐεις σύ γ' ἐν μέσῳ, χελει—χελει—χελώνη;

B. *νῆμα μὲν τοδὶ νέω, τοδὶ νέω, τοδὶ νέω,*
νῆμα μὲν τοδὶ νέω, χελει—χελει—χελώνη.

A. *τί ποΐεις σύ γ' ἐν μέσῳ . . .*

B. *ἔρια τάδε μηρύομαι, μηρύομαι, μηρύομαι . . .*

A. *τί ποΐεις σύ γ' ἐν μέσῳ . . .*

B. *κρέκω κροκὴν Μιλησίαν, Μιλησίαν, Μιλησίαν . . .*

A. *πῶς δ' ἔχει τὸ σὸν τέκνον, τὸ σὸν τέκνον . . .*

B. *τέκνον ἐμὸν ἀπώλετο, ἀπώλετο, . . .*

A. *τί δὲ ποιῶν ἀπώλετο . . .*

B. *φεῦ κατέπεσεν ἐκ δίφρου . . .*

A. *πῶς κατέπεσεν ἐκ δίφρου . . .*

B. *ἐς θάλασσαν ἥλατο . . .*

With *μήρυομαι* and Μιλησίαν the rhythm should be changed from ♪ ♩ ♪ ♩ to ♩ ♩ ♪ ♩

THE AGES OF MAN.

Sur le pont d'Avignon.

ἓν ἔτος γεγονὼς γάλα γάλα γάλα γάλα
ἓν ἔπος γεγονὼς γάλ' ἔπινον ἐγώ.

δύ' ἔτει γεγονὼς χέρα χέρα χέρα χέρα
δύ' ἔται γεγονὼς χέρ' ἔτεινον ἐγώ.

τρί' ἔτη γεγονὼς ποσὶ ποσὶ ποσὶ ποσὶ
τρί' ἔτη γεγονὼς ποσὶ περιεπάτουν.

δύο δὶς γεγονὼς κακὰ κακὰ κακὰ κακὰ
δύο δὶς γεγονὼς κακὰ πόλλ' ἐποίουν.

δύο τρὶς γεγονὼς τότε τότε τότε τότε
δύο τρὶς γεγονὼς τότε κάρτ' ἐβόων.

δέκ' ἔτη γεγονὼς ὅλον ὅλον ὅλων ὅλον
δέκ' ἔτη γεγονὼς κάπρον ὅλον ἔφαγον.

δέκα δὶς γεγονὼς ὑπόπαχυς ὑπόπαχυς
δέκα δὶς γεγονὼς ὑπόπαχυς ἐδόκουν.

δέκα τρὶς γεγονὼς μέγα μέγα μέγα μέγα
δέκα τρὶς γεγονὼς μέγα δῆτ' ἐφρόνουν.

τετράκις δεκετὴς φαλακρὸς ὀτοτοτοῖ
τετράκις δεκετὴς φαλακρότατος ἔφυν.

ἑκατονταετὴς ἀπέθανον ἀπέθανον
ἑκατονταετὴς ἀπέθανον ὁ γέρων.

WHAT SHALL WE DO WITH A DRUNKEN SAILOR?



ἦν, ὅδε κραιπαλόκωμος ναύτης . . . (*τρίς*)
νῦν δ' ἄιρωμεν πρω-ί
ὠ-οπ- δεῖ γὰρ ἀνέλκειν
ὠ-οπ- κἀγκρεμάσαι νῦν
ὠ-οπ- τήνδ' ἄγκυραν
νῦν δ' ἄιρωμεν πρω-ί.

φεῦ, τί παθὼν ἂν ἐκεῖνος νήφοι . . . κ.τ.λ.
οἶνος ἀπέστω, σώφρων ἔσται . . . κ.τ.λ.
λαμπρύνειν χαλκᾶ πόνος ἔστω . . . κ.τ.λ.
πρήνης εἰς ἄντλον καταπίπτοι . . . κ.τ.λ.
ἕλκε ποδὸς, μετεωρισθήτω . . . κ.τ.λ.
ὕψι δεθεὶς χειμῶν' ἀνεχέσθω . . . κ.τ.λ.
ἔρροι πλοιάριόν τ' ἀναβήτω . . . τ.κ.λ.
κόπτ' ἔδαφος, καταποντισθήτω . . . τ.κ.λ.

THE LAZY BOY.



1. *πού σθ' ἀδελφός; [δίς] ἐν κλίνῃ [δίς]*
   διὰ τί καθεύδεις ..... νυστάζων;

2. *μή μ' ὀχλήσῃς ..... ῥέγκω γάρ ...*
   βάλλ' ἐς κόρακας .... οἰμώξῃ .....

3. *φεῦ τοῦ παιδός ..... σίγα δή .....*
   βαρύκοτός ἐστιν ..... ἡ μήτηρ .....

4. *οὔ μοι φροντίς ..... τῆς μητρός...*
   βαρύκοτος ἔστω ..... ἡ μήτηρ .....

WHAT THE ANIMALS SAY.

Green grow the leaves.

βοῦς κατ' ἐμοῦ μάλα μυκᾶται . . . [*τρίς*]
ὅταν ἐξέλθω, μῦ μῦ.

πᾶν πρόβατον μάλα μηκᾶται . . .
ὅταν ἐξέλθω, μῆ μῆ.

πᾶς δέ μ' ἰδὼν ὄνος ὀγκᾶται . . .
ὅταν ἐξέλθω, ὄγκ ὄγκ.

ἵππος ἅπας χρεμετίζει μοι . . .
ὅταν ἐξέλθω, τερετίξ.

χοῖρος ἅπας δὲ κοϊ̈ζει μοι . . .
ὅταν ἐξέλθω, κοϊ̈ κοϊ̈.

πᾶς βάτραχος δὲ κοάζει μοι . . .
ὅταν ἐξέλθω, κοάξ κοάξ.

νῆττα δ' ἅπασα κοάζει μοι . . .
ὅταν ἐξέλθω, κοάξ κοάξ.

πᾶς δὲ κύων γε βαϋ̈ζει μοι . . .
ὅταν ἐξέλθω, βαῦ βαῦ.

πᾶν βρέφος ἐξελελίζει μοι . . .
ὅταν ἐξέλθω, ἐλελεῦ.

THE MAN WITH A PIGTAIL.

German Traditional Air.

1. *πάλαι ποτ' ἦν γέρων τις ὃς*
καθῆκε κρωβύλον μέγαν,
βαρέως δ' ἔφερε μάλιστ' ἐπεὶ
ὄπισθεν ἐκρεμάσθη.
ἰὼ πόποι πόποι πόποι
ὄπισθεν ἐκρεμάσθη.

1. *πολὺν χρόνον διασκοπεῖ*
ὅπως τόδ' εὐθυνεῖ κακόν,
ἵν' ἐς πρόσωπον ἐσρέων
ὄπισθε μὴ κρεμασθῇ.
ἰὼ πόποι . . .

3. *τέλος δ' ἐφεῦρε μηχανήν,*
ἔφη δὲ "τρέψομαι πάλιν."
πάλιν τρεπόμενος εἶδεν ὡς
ὄπισθεν ἐκρεμάσθη.
ἰὼ πόποι . . .

4. *ἐτρέπετο δ' ἔς τε δεξιὰν*
κατὰ μέρος ἔς τ' ἀριστεράν·
ὁ δ' οὐδὲν ἧττον ἢ τὸ πρὶν
ὄπισθεν ἐκρεμάσθη.
ἰὼ πόποι . . .

5. καθ' ἡμέραν δὲ διατελεῖ
στροβούμενος στρόβιλος ὥς,
ὁ κρωβύλος δ' ἄρ' ὡς τὸ πρὶν
ὄπισθεν ἐκρεμάσθη.
ἰὼ πόποι . . .

HOW TO PLANT THE GARDEN.

Savez vous planter les choux.



1. λάχανα πῶς φυτεύεται, μῶν κάτοισθα, μῶν κάτοισθα,
λάχανα πῶς φυτεύεται τῇ γ' ἐμῇ γεωργίᾳ.

2. χερσὶ μὲν φυτεύεται, ἴσθι ταῦτα, ἴσθι ταῦτα,
χερσὶ μὲν φυτεύεται τῇ γ' ἐμῇ γεωργίᾳ.

3. καὶ ποσὶν φυτεύεται . . .

4. δακτύλοις . . .

5. κονδύλοις . . .

6. τῇ κόμῃ . . .

7. ῥινὶ δ' αὖ . . .

(Suit the action to the word).

THE WOLF.

1. *ὁ βουκόλος φυλάττων — τοφλαττοθρὰτ τοφλαττοθρὰτ*
   ὁ βουκόλος φυλάττων — κατεῖδε τὸν λύκον λύκον
   κατεῖδε τὸν λύκον.

2. *λαβὼν τὸ τόξον εὐθὺς, — ἔβαλλε τὸν λύκον . . .*

3. *βαβαὶ τί δή με βάλλεις — ἔφη λύκος τοφλαττοθράτ*
   „ „ „ „ „ — ὅς εἰμί σοι φίλος, . . .

4. *σὺ δ' εἰ φίλος πέφυκας — τί κἄφαγες τὰ πρόβατά μου*
   „ „ „ „ — δὸς αὐτά μοι πάλιν, . . .

5. *ἅπαντ' ἔνεστι γαστρί — ἔφη λύκος τοφλαττοθρὰτ*
   „ „ „ — ἅπαντα φροῦδα δή, . . .

6. *ἐπεὶ δὲ πάντα φροῦδα — τοφλαττοθράτ τοφλαττοθράτ*
   „ „ „ „ — κατεσθίω σ' ἐγώ.

THE DEAD WARRIOR.

Monsieur de Malbrouk.

Θεμιστοκλῆς ἀπῆλθεν, τοροτὶγξ τοροτὶγξ τοροτῖο,
Θεμιστοκλῆς ἀπῆλθεν, ἀπῆλθεν ἐς μάχην.

ὁ δ' οὐκ ἐλεύσεταί τοι . . . . . ἐλεύσεται πάλιν.

Θεμιστοκλῆς τέθνηκεν . . . . . μέτοικος ἐν ξένῃ.

τετρὰς φίλων τὸ σῶμα . . . . τότ' ἔφερεο ἐς τάφον.

ἐκ δεξιᾶς δύ' ἤτην . . . . . δύ' ἐξ ἀριστερᾶς.

τὸ δ' ὕστατον καθεύδει . . . . . τεθαμμένος ξένῃ.

κατεῖδον ὡς τὸ πνεῦμα . . . . . τὸ πνεῦμ' ἀπέπτατο.

γυνὴ δὲ μέγαλα θρηνεῖ . . . . . καθημένη χαμαί.

THE SNAIL.

Pop goes the weasel.

1. *ἦν ἰδοὺ πέδον κάτα*
ὁ φερέοικος ἕρπει,
ὡς πατήρ ποθ' εἶρπε πρίν,
πάππος, πρόπαππος.

2. *εὐλαβῶς κέρατα δὴ*
ψηλαφῶν προτείνει,
ὡς πατὴρ ἔτεινε πρίν,
πάππος, πρόπαππος.

3. *θαῦμ' ἰδεῖν, ἄκροις ἔχει*
ὄμματ' ἐν κέρασιν,
ὡς πατήρ ποτ' εἶχε πρίν,
πάππος, πρόπαππος.

4. *οἴκαδ' οἴκαδ' αὖ φύγε,*
κακὰ μένει θύραξε,
ὡς πατήρ ποτ' ἔμαθε πρίν
πάππος, πρόπαππος.

5. *εἰ δὲ μή σ' ἀποκτενῶ,*
λὰξ χαμαὶ πατήσας,
ὡς πατέρα ποτ' ἔκτανον,
πάππον, πρόπαππον.

CHANTIES

MAN'S LIFE'S A VAPOUR.

Catch for three voices.

Φεῦ βίος οἶ-ος τῶν θνητῶν,
ὀλίγον ἔ-ω-θεν σκιρτών-των,
μετὰ τάδε τάχα κατα-πιπ-τόν-των.

LITTLE BO-PEEP.

Here comes a lusty wooer.



ἐκάθευδε Κλεοβούλη, Κλεοβούλη, Κλεοβούλη,
οἱ δ' οἷες ἀπέφευγον ξενικὰς καθ' ὕλας.

σύριζε Κλεοβούλη, Κλεοβούλη, Κλεοβούλη,
ἦν πως ἐπανίωσιν σείοντες οὐράς.

ἔκλαιε Κλεοβούλη, Κλεοβούλη, Κλεοβούλη,
τοὺς οἷας ὀλέσασα ξενικὰς καθ' ὕλας.

μὴ κλαῖε, Κλεοβούλη, Κλεοβούλη, Κλεοβούλη,
ἤκουσι πάλιν ἤδη σείοντες οὐράς.

TEN LITTLE BOYS.



δέκα ποτὲ παῖδες περιεπάτουν·
εἷς ἐπὶ κεφαλὴν ἔτυχε πεσών.
ἐννέα παῖδες περιεπάτουν·
εἷς ἀκαλήφης ἔτυχε θιγών.
Ζεῦ βασιλεῦ, τέρας οἷον ἐφάνθη,
φεῦ παίδων οἰκτρῶν·
φροῦδος ἀμοιβαδὶς ἄλλοθεν ἄλλος,
φεῦ παίδων οἰκτρῶν.

ὀκτὼ παῖδες περιεπάτουν·
εἷς κύνα μαργὸν ἔτυχε δακών·
ἑπτὰ δὲ παῖδες περιεπάτουν·
εἷς ποδὶ νάρκην ἔτυχε βαλών. Ζεῦ . . .

ἓξ ἔτι παῖδες περιεπάτουν·
εἷς στόμ' ἀνοίξας ἔτυχε χανών·
πέντ' ἔτι παῖδες περιεπάτουν·
βάτραχον εἷς τις ἔτυχε φαγών. Ζεῦ . . .

τέτταρες ἤδη περιεπάτουν·
δάκτυλον εἷς τις ἔτυχε τεμών·
τρεῖς ἔτι παῖδες περιεπάτουν·
σκορπίον εἷς τις ἔτυχε λαβών. Ζεῦ . . .

τότε δύο παῖδες περιεπάτουν·
φάρμακον εἷς τις ἔτυχε πιών.
εἷς μόνος αὐτὸς περιεπάτει·
καὶ τάχ' ἐς Ἅιδου γ' ἔτυχε δραμών.

Two variants: (1) ἔλαθε πεσών, etc.
(2) ἔπεσε λαθών, etc.

THINKS I TO MYSELF.

Thinks I to myself.

αὐτὸς ὢν κατ' ἀγρούς,
λόγον διδοὺς ἐμαυτῷ,
αὐτὸς ὧδ' ἐμαυτῷ
εἶπον, ὡς ἐρῶ.

μὰμέλει σὺ σαυτοῦ,
ἀεὶ φύλαττε σαυτόν,
οὔ σε γὰρ φυλάξει
οὔτις ἀντὶ σοῦ.

ἢν δὲ μὴ φυλάττειν
θέλῃ τις αὐτὸς αὑτόν,
αὐτὸς αὑτὸν εὐθὺς
ἐξολεῖ κακῶς.

ταῦτ' ἔγωγ' ἀκούσας
τότ' αὐτὸς ἐξ ἐμαυτοῦ,
αὐτὸς ὧδ' ἐμαυτῷ
εἶπον, ὡς ἐρῶ.

ἀλλ' ἐὰν φυλάττῃς,
ἐάν τε μὴ φυλάττῃς,
ταὐτὸ δὴ τὸ πρᾶγμα—
οὐκ ἔχεις πλέον.

SALAMIS.

Cadet Rousselle.

1. πολεμίων μέγας στόλος
ἀπ' Ἀσίας ἔπλει ποτέ,
ἀναρίθμων μεθ' ἱππέων
ἀναρίθμου δὲ πεξικῆς·
τίς ποθ' ἱππέας τοσούτους
εἶδε, τίς τοσαῦτα πλοῖα;
ἀλλ' οὐ φόβος ἐνῆν
τότε θρασεῖ Θεμιστοκλεῖ.

2. τρὶς ἑκατὸν δὲ πλοῖ' ἔχει
τὸ Σαλαμίνιον στενόν,
παραμένοντα καρτερῶς
πολεμίων νεῶν βίαν.
οὔτις ἄλλος ὠφελήσει
βαρβάρων χερῶν πρὸς ὕβριν·
ἀλλ' οὐ φόβος ἐνῆν
τότε θρασεῖ Θεμιστοκλεῖ.

3. ὁ βασιλεὺς ὁ Περσικὸς
ἐπὶ θρόνου καθίζεται,
μέγα μὲν ἱππικῷ φρονῶν,
μέγα δὲ ναυτικῷ στόλῳ,
ὃς τοσοῦτος ἦν ἔωθεν,
ἐσπέρας δὲ κἀφανίσθη·
οὐ γὰρ φόβος ἐνῆν
τότε θρασεῖ Θεμιστοκλεῖ.

4. θρασύτατος στρατηγὸς οὖν
ἐπεκράτησε βαρβάρων·
ἔφυγε Περσικὸς στόλος,
ἔφυγε πεζὸς ἐν μέρει·
εἰσαεὶ δὲ τοῖς μαχηταῖς
δόξα καὶ κλέος παρέσται·
οὐ γὰρ φόβος ἐνῆν
τότε θρασεῖ Θεμιστοκλεῖ.

BAA BAA BLACK SHEEP.

μελανόθριξ μελάνουρος δασύμαλλος κριὸς
λεγέτω μοι τίς ἐν οἴκοις ἐρίων θησαυρός,
μελανόθριξ μελάνουρος δασύμαλλος κριός.

παράκειται μέγας οἴκοις ἐρίων θησαυρός·
παρέσαξ' ἐν τρισὶ σάκκοις ἀναμέστοις οὖσιν·
παράκειται μέγας οἴκοις ἐρίων θησαυρός.

τίνι δώσεις τὸν ἐν οἴκοις ἐρίων θησαυρόν,
παρασάξας τρισὶ σάκκοις ἀναμέστοις οὖσιν;
τίνι δώσεις τὸν ἐν οἴκοις ἐρίων θησαυρόν;

ἕνα μὲν σοί, δύ' ἐμαυτῷ, τὸ δὲ λοιπὸν χοίροις·
τάδε φησὶν μελανόθριξ μελάνουρος κριός·
ἕνα μὲν σοί, δύ' ἐμαυτῷ, τὸ δὲ λοιπὸν χοίροις.

SONG OF PYRGOPOLYNEICES.

Irish air.

εἰμὶ μέγας ἔγωγ' ἀνήρ,
ὅπλων τις οὐκ ἄπειρος·
ὥσθ' ὅταν λάβω χερί ποτε δεξιᾷ μάχαιραν,
εὐλαβῶς ἐπιστρέφω φυλακτικῶς τ' ἐπ' οὐράν·
ὁ τήμερον γάρ ἀποφυγὼν αὔριον μαχεῖται.

εἰμὶ μέγας . . . ἄπειρος·
ὥσθ' ὅταν τιθῶ κόρυν ἐπὶ κρατὶ τὴν σιδηρᾶν
εὐλαβῶς . . .

εἰμὶ μέγας . . . ἄπειρος·
ὥσθ' ὅταν ἐπ' ἀριστερᾷ τιθῶ ποτ' ἀσπίδ' ἐσθλήν,
εὐλαβῶς . . .

εἰμὶ μέγας . . . ἄπειρος·
ἦν ἰδοὺ πανοπλίᾳ σεσαγμένος πάρειμι
εὐλαβῶς δ' ἐπιστρέφω . . .

O DEAR, WHAT CAN THE MATTER BE?

O dear, what can the matter be?

1. φεῦ φεῦ τί ποτε γέγονε,
   φεῦ φεῦ τί ποτε γέγονε,
   φεῦ φεῦ τί ποτε γέγονε,
   τί ποτε γέγονε δή;

2. Κέρδων ἔφυγεν ἐφυγε,
   Κέρδων ἔφυγεν ἔφυγε,
   Κέρδων ἔφυγεν ἔφυγεν,
   ἔφυγεν ἔφυγε δή.

3. κλέψας πρόβατα πρόβατα . . .
   πρόβατα πρόβατά μοι.

4. ἄξω πατέρα τὸν ἐμόν, . . .
   ἵνα φυγάδα λάβῃ.

5. ἄξω στόλον ὁπλόμαχον, . . .
   ἵνα φυγάδα βάλῃ.

6. ἄξω κύνα πολύφαγον, . . .
   ἵνα φυγάδα φάγῃ.

THE CROCODILES.

Air of Languedoc.

εἷς δύο τρεῖς μέγαλοι κροκόδειλοι
ἐν ποταμῷ τρίβουσι χρόνον.
εἷς κροκόδειλος,
δύο κροκοδείλω,
τρεῖς κροκόδειλοι σύμφωνοι.

εἷς δύο τρεῖς μεγάλοι κιθαρισταί
ἐν ποταμῷ μελετῶσι τὸ νεῖν.
εἷς κιθαριστής,
δύο κιθαριστά,
τρεῖς κιθαρισταὶ σύμφωνοι.

εἷς κροκόδειλος δάκρυα λείβει,
δύο κροκοδείλω τἀυτὸν δή.
τρεῖς κροκόδειλοι
τρεῖς κιθαριστὰς
πάντας ὁμοῦ καταπίνουσιν.

THE SIREN.

I. *ἦν ὁ πλοῦς ἐν θαλάττῃ πρὸς ἡλίου δύσιν,*
πόλλ' ἀπεπλάγχθημεν δρόμου·
κᾆτα Σειρὴν ἐφάνθη καθημένη πέτραις
ψάλλουσ' ἡδύθρουν μέλος λύρᾳ λύρᾳ λύρᾳ
ψάλλουσ' ἡδύθρουν μέλος λύρᾳ.
φεῦ κλυδώνων κλυζόντων,
φεῦ θυελλῶν φυσωσῶν·
οἱ μὲν ἄκραις κεραίαις καθήμεθ' ἀσφαλῶς,
οἱ δὲ δὴ ναυσιῶσιν οἱ κάτω κάτω κάτω,
οἱ δὲ δὴ ναυσιῶσιν οἱ κάτω.

2. εἶθ' ὁ ναύκληρος εἶπεν· γυνὴ μέν ἐστι μοι,
καὶ τριάκοντ' εἰσὶν τόκοι·
χαιρέτω μὲν γυνή, χαιρέτω δέ πᾶς τόκος,
ὀρφανὸς γὰρ γενήσεται χορὸς χορὸς χορὸς . . .

3. μικρὸς ἦν μειρακίσκος, βοᾷ δὲ καρτερῶς,
οὐ μέλει μοι γυναικὸς σέθεν·
ἀλλὰ μήτηρ πατήρ τ' εἰσὶν ἐν δόμοις ἐμοῖς,
οἷσι πένθος γενήσομαι θανὼν θανὼν θανὼν . . .

4. ἡ δὲ ναῦς θεῖσα κύκλους κυκλουμένη τρέχει,
οἱ δὲ ναῦται χορεύουσιν εὖ,
εἶτα φρούδη κατάντης κατῴχετ' ἐς βυθόν,
κἠφανίσθη στροβουμένη κάτω κάτω κάτω . . .

CHANTIES

COUNTRY LIFE.

A SINGING GAME.

Follow my gable hoary man.



Leader. *φέρεθ' ἕπεσθε παιδία,*
ὅτι ποιῶ ποιεῖτε μοι.
Chorus. *ὅτι ποιεῖς ποιήσομεν*
ἑπόμενοι τρόπῳ τινί.

—ἄροτρον ὧδ' ἐλαύνετε
κατὰ δὲ τέμνετ' αὔλακας.
—ἄροτρον ὧδ' ἐλῶμεν εὖ,
κατατεμοῦμεν αὔλακας.

—σπέρματα καταβάλλετε
ὥστε καταπεσεῖν χαμαί.
—καταβαλοῦμεν ὡς λέγεις
ὥστε καταπεσεῖν χαμαί.

—ὅταν ἔαρ φανῇ πάλιν
στάχυές εἰσι πανταχοῦ.
—βλέπομεν ὡς λέγεις ἀγροῖς
στάχυας ἐμπεφυκότας.

—νῦν μὲν οὖν θερίζετε
δρέπαν' ἔχοντες ἐν χερί.
—νῦν μὲν οὖν θεριοῦμεν εὖ
δρέπαν' ἔχοντες ἐν χερί.

—μετὰ δὲ πάντ' ἀμᾶτέ μοι
δράγματα περικείμενα.
—μετὰ δὲ πάντ' ἀμήσομεν
δράγματα περικείμενα.

—ἀπαλοᾶτε νῦν ταχέως
ὅσον ἄλως ἔχει θέρος.
—ἀπαλοήσομεν ταχέως
ὅσον ἄλως ἔχει θέρος.

—ἀναλικμᾶτε νῦν πτύῳ
σιτία κατακείμενα.
—ἀναλικμήσομεν πτύῳ
σιτία κατακείμενα.

—φέρετ' ἀλεῖτε τῇ μύλῃ,
ἵνα ποιῆτε τἄλφιτα.
—ἀλέσομεν μύλῃ καλῶς
ἵνα ποιῶμεν ἄλφιτα.

—ὕδατι πάντα μάττετε,
παχυ γενησεται στεαρ.
—ὕδατι πάντα μάξομεν,
παχὺ γενήσεται στέαρ.

—πυρὶ μὲν ἄρτον ἐν πνιγεῖ
πυρὶ πλακοῦντα πέττετε.
—πυρὶ μὲν ἄρτον ἐν πνιγεῖ,
πυρὶ πλακοῦντα πέψομεν.

—περικαθίζετ' οὖν κύκλῳ
περὶ τράπεξαν ὧδέ μοι.
—περικαθίζομεν κύκλῳ
περὶ τράπεξαν ὧδέ σοι.

—φάγετε δὴ τὸν ἄρτον εὖ
ὅσα τε κἄλλα πέμματα.
—ἐδόμεθ' οὖν τὸν ἄρτον εὖ
ὅσα τε κἄλλα πέμματα.

CHANTIES

MY BOY WILLIE.

Copyright 1912 by Novello & Co., Ltd. From English Folk-Songs, collected and arranged by Cecil J. Sharp. By permission of Novello & Co., Ltd.

1. *ποῦ ποτ' ἦσθα τήμερον*
ὦ παῖ φίλε;
ποῦ ποτ' ἦσθα τήμερον;
οὐκ ἐρεῖς ἐμοὶ τόδε;

—*ἐμνηστεύομεν*
καλλιπάρθενον κόρην,
ἔσθ' ὅμως νέα
κοὐκ ἐᾷ γ' ἡ μάμμη.

2. *ἆρ' οἷα τε νῆμα νεῖν . . .*

—*καὶ νεῖν οἶδεν εὖ*
καὶ σχεδὸν τὰ πάντα δή,
ἔσθ' ὅμως . . .

3. *ἆρ' οἷα κρέκειν κρόκην; . . .*

—*ἱστουργεῖ καλῶς,*
καὶ κρέκει κρόκην καλήν,
ἔσθ' ὅμως . . .

4. *οἶδε τὴν μαγειρικήν . . .*

—*οἶδε τὴν μαγειρικήν*
ὀψοποιὸς οὖσ' ἄκρα·
ἔσθ' ὅμως . . .

5. ἆρ' ἔψει χύτραν . . .
—οἶδ' ἕψειν ἔτνος
οἷον Ἡρακλῆς φιλεῖ,
ἔσθ' ὅμως . . .

6. ἆρ' ὀπτᾷ κρέας . . .
—οἶδ' ὀπτᾶν κρέας
καὶ τὸ δεῖπνον ἀμφέπειν·
ἔσθ' ὅμως . . .

7. ἆρα σιτοποιὸς αὖ . . .
—πέττει πέμματα
μᾶζαν ἄρτον ἴτρια,
ἔσθ' ὅμως . . .

8. καὶ πόσων ἐτῶν κυρεῖ . . .
—δὶς τρὶς τετράκις
πεντάκις τε χιλίων·
ἔσθ' ὅμως νέα
κοὐκ ἐᾷ γ' ἡ μάμμη.

CHANTIES

ROUND THE RING.

A SINGING GAME.

I. *Chorus.* ἐθέλομεν χορεύειν
πάντες ἐν κύκλῳ·
τίνα δ' ἐλοίμεθ' ἂν δὴ
σύξυγον χοροῦ;
No. 1. κύων τίς ἐστί μοι
καλός τε κἀγαθός·
τὸ πρῶτον οὖν ἑλέσθαι
πάρεστι τὸν κύνα.

2.—ἐθέλομεν . . . χοροῦ;
No. 2. τράγος τίς ἐστί μοι
καλός τε κἀγαθός·
τὸ δεύτερον δ' ἑλέσθαι
πάρεστι τὸν τράγον.

3.—ἐθέλομεν . . . χοροῦ;
No. 3. μῦς τίς ἐστί μοι
καλός τε κἀγαθός·
τρίτον δὲ μῦν ἑλέσθαι
πάρεστι πρὸς χορόν.

4.—ἐθέλομεν . . . χοροῦ;
No. 4. αἴξ τίς ἐστί μοι
καλός τε κἀγαθός·
τέταρτον αἶγ' ἑλέσθαι
πάρεστι πρὸς χορόν.

5.—ἐθέλομεν . . . χοροῦ;
No. 5. λαγῶς τίς ἐστί μοι
καλός τε κἀγαθός·
τὸ πέμπτον οὖν ἑλέσθαι
πάρεστι τὸν λαγῶν.

6.—ἐθέλομεν . . . χοροῦ;
No. 6. ἵππος ἐστί μοι
καλός τε κἀγαθός·
τὸ δ' ἕκτον οὖν ἑλέσθαι
τὸν ἵππον ἔστι μοι.

7.—ἐθέλομεν . . . χοροῦ;
No. 7. ἔλαφός τίς ἐστί μοι
καλός τε κἀγαθός·
τὸν ἔλαφον οὖν ἑλέσθαι
πάρεστιν ἕβδομον.

8.—ἐθέλομεν . . . χοροῦ;
No. 8. ὄνος τίς ἐστί μοι
καλός τε κἀγαθός·
τὸν ὄνον ἔπειθ' ἑλέσθαι
πάρεστιν ὀγδόον.

9.—ἐθέλομεν . . . χοροῦ;
No. 9. κροκόδειλός ἐστί μοι
καλός τε κἀγαθός·
τὸ δ' ἔνατον οὖν ἑλέθαι
κροκόδειλον ἔστι μοι.

10.—ἐθέλομεν . . . χοροῦ;
No. 10. Leader. ἅπας δὲ νῦν κύκλῳ
χορευέτω χορός·
πρόσειμι δέκατος αὐτὸς·
καλός τε κἀγαθός.

(This may be acted on the stage with suitable costumes or crests.)

CHANTIES

WHICH IS THE WAY TO ATHENS TOWN?

Jolly Rovers.

προσίωμεν πρὸς 'Αθήνας, πρὸς 'Αθήνας, πρὸς 'Αθήνας,
προσίωμεν πρὸς 'Αθήνας σύ τε κἀγὼ κἄλλοι.
ἀλλ' ἡμῖν τίς ὁδαγός . . . . . σοὶ κἀμοὶ κἄλλοις;
ἀλλ' ἡμᾶς ὄνος ἕρπων . . . . . ἐπὶ νώτοις οἴσει.
ὄνος οὗτος βραδὺς ἔσται . . . . πρὸς 'Αθήνας ἕρπων.
ἀλλ' ἵππος πολὺ θᾶσσον . . . πρὸς 'Λθήνας οἴσει.
ὁ δ' ἕν' ἐστὶν πόδα χωλός . . . ἅλις οὔκ εἰσιν τρεῖς.
ἐλέφας τις μέγας ἡμᾶς . . . . . πρὸς 'Αθήνας οἴσει.
φοβερὸν δὴ τέρας οὗτος . . . . οἰμώξω προσορῶν.
ἔστ' οἴκοι τις ἅμαξα . . . . . τετράκυκλος μεγάλη.
σὺ δ' ἐλαύνων κατέαξας . . . . . δύο κύκλους αὐτῆς.
χρὴ δὴ τοῖς ποσὶ χρῆσθαι . . . τοῖς ἡμῶν αὐτῶν.
καὶ πῶς δεῖ ποσὶ χρῆσθαι . . . ὥστ' ὀρθῶς βαίνειν;
ἕτερον δεῖ πόδ' ἐπαίρειν, πόδ' ἐπαίρειν, πόδ' ἐπαίρειν,
ἕτερον δεῖ καταθεῖναι ὥστ' ὀρθῶς βαίνειν.

Be careful not to sing

THE WOOER.

Le Chevalier de Guet.

1. *τίς παρέρχεται κάτω,*
   φίλτατε βασιλέως ὀπαδέ,
   τίς παρέρχεται κάτω,
   νυκτὸς κιτὰ πόλιν ;
2. *γεννάδας νεανίας*
   φίλτατε βασιλέως ὀπαδέ.
   γεννάδας νεανίας,
   νυκτός κατὰ πόλιν.

*3. *τί δὲ θέλει νεανίας . . .*

*4. *φιλτάτου γάμου τυχεῖν . . .*

5. *τίς δέ σοι γυνὴ πάρα . . .*

6. *τῶν γε σῶν κορῶν μία . . .*

7. *οὐ πάρεισί μοι κόραι . . .*

8. *ἀλλὰ δή σέ φασ' ἔχειν . . .*

9. *εἰ πάρεστί τις — τί δαί . . .*

10. *δῶρα πολλὰ δώσομεν . . .*

11. *οὐ τοιῶνδέ τοι μέλει . . .*

12. *ἱππικὴν συνωρίδα . . .*

13. *ἵππον οὐ ποθεῖ κόρη . . .*

14. *κόσμον ὃν γυνὴ φιλεῖ . . .*

15. *οὐ φιλεῖ δ' ἐμὴ κόρη . . .*

16. *εἶμ' ἀνὴρ ἐρῶν πολύ . . .*

17. *ὡς τοιοῦτος ὢν λάβε.*

* Odd verses repeat as in 1 ; even verses repeat as in 2.

THE TOOTH DOCTOR.

Lo Tiramole : Neopolitan air.

εἴμ᾽ ἰατρὸς τῶν σαθρῶν ὀδόντων,
τῖρο λῖρο λίρω τῖρο λῖρο λίρω
καὶ κέκτημαι δόξαν ὡς μεγίστην,
τῖρο λῖρο λίρω τῖρο λιρολί.
τὸν φραστῆρ᾽ οὖν ἄλγος ἣν ἔχῃ τις
φοιτάτω δὴ πᾶς τις ὡς ἐμέ·
χωρὶς λύπης εὐθέως ἀποσπῶ·
τῖρο λῖρο λίρω τῖρο λιρολί.

εἴμ᾽ ἔμπειρος τῆς τέχνης μάλιστα,
τῖρο λῖρο λίρω, τῖρο λῖρο λίρω,
ὡς δῆτ᾽ ὢν Ἱπποκράτου μαθητής,
τῖρο λῖρο λίρω, τῖρο λιρολί.
οἶδ᾽ ἐμπλάστων φαρμάκων τε πάντων
καὶ θελγήτρων ἠπίων δόσεις·
ἔλθοιτ᾽ ἔλθοιτ᾽ οὖν ἁπαξάπαντες·
τῖρο λῖρο λίρω τῖρο λιρολί.

οὐ χρὴ μέλλειν τοὐβολοῦ γ' ἕκατι,
τῖρο λῖρο λίρω, τῖρο λῖρο λίρω·
οὐδὲ πτωχὸς κέρματος σπανίζει,
τῖρο λῖρο λίρω, τῖρο λιρολί.
οὐ πείθοιτ' ἂν μὴ τὸ θαῦμ' ἰδών τις,
οὐ πείθοιτ' ἂν δῆθεν οὐδ' ἰδών·
ἐλθοιτ' ἔλθοιτ' οὖν ἁπαξάπαντες·
τῖρο λῖρο λίρω τῖρο λιρολί.

CHANTIES

THE MAD MICE.

Au clair de la lune.

1. βλέπετε τρέχοντας
ἕνα δύο τρεῖς,
προσέτι τέταρτον
κατὰ τὸ πέδον.
λέγε τίνες εἰσιν,
ἵν' ἐπιμάθω·
διὰ τί τρέχουσιν
κατὰ τὸ πέδον;

2. μέγα μὲν ἐρωτᾷς,
τόδε δὲ λέγω,
ὅτι μύες εἰσὶν
παραφρόνιμοι.
ὀλίγον ὄπισθεν
παραμένετον
ἅμα τε γεωργὸς
ἅμα τε γυνή.

3. λέγε δὲ μάχαιραν
διὰ τί γυνὴ
φοβερὰ βλέπουσα
χερὶ παρέχει;
ὅτι μετὰ ταῦτα
τάχ' ἀποτεμεῖ
κατὰ μίαν οὐρὰς
μυσὶ μανικοῖς.

ARISTOGEITON.

Le roi d' Yvetot.

1. *πάλαι τύραννον Ἵππίαν*
ἔκοψ' Ἀριστογείτων,
ὁ γὰρ τύραννος Ἵππίας
ἔβλαπτε τοὺς πολίτας.
ὁ δ' ἀνὴρ πάνυ καλός,
πάνυ καλός τε κάγαθός.

2. *ὁ γὰρ τύραννος Ἵππίας*
ἐπέμπε τὴν ἑορτήν,
ξίφος δ' ἐν ἄνθεσιν μέσοις
ἔκρυψ' Ἀριστογείτων.
ὁ δ' ἀνὴρ κ.τ.λ.

3. *ἔπειτα τὸ ξίφος λαβὼν*
βιλῶν τε τὸν τύραννον
ἐλευθέραν ποιεῖ πόλιν,
ἐλευθέρους πολίτας.
ὁ δ' ἀνὴρ κ.τ.λ.

THE SWALLOW.

1. *ἰδοὺ ἦλθε χελιδὼν δή,*
προσάγουσα καλὴν ὥραν·
ἔαρ ἐπανήκει νῦν,
ἀπέφυγε δ' αὖ χειμών.

2. *τὰ δὲ παιδία νῦν παίζει,*
παριόντ' ἀνὰ τὴν κώμην·
"δότε δότε δῶρ' ἡμῖν·
ὅδε νόμος ἐστ' ἦρος.

3. *"παλάθην σε προκυκλεῖν δεῖ*
ἀπὸ πίονος οἰκίσκου,
ἐπὶ δὲ πλακοῦς ἔστω
πέπονα δὲ μῆλ' εὐθύς.

4. *"σὺ γὰρ εἰ τάδε μὴ δώσεις*
μέγα δὴ κακὸν ἔσται σοι·
ἀπό τε θύραν ῥήξω
ἀπό τε γυναῖκ' οἴσω.

5. *"σὺ δ' ἄνοιγε θύραν ἡμῖν·*
μέγα δή τι φέροι' ἂν νῦν.
διὰ τί φοβεῖ παῖδας;
δότε δότε δῶρ' ἡμῖν."

JOHN PEEL.

τίς ὅδ' ἱππεύει κατ' ὄρη κατ' ἀγρούς
ὑπὸ σάλπιγγος μεγάλης τε βοῆς,
πολλῶν μὲν ἄγων ὄχλον ἱππευτῶν
πολλὰς δὲ κύνας μεθ' ἑαυτοῦ;

ὅδε τοι Πηλεὺς πάνυ θηρευτὴς,
ὃς ἕωθεν ἄγει κύνας ἠδ' ἱππέας
ἐπ' ἄγραν θηρῶν ἐλελιζόμενος
κἀξ ὕπνου πάντας ἐγείρει.

φέρε τις Πηλέα ποτ' ἄρ' οὐκ ἔγνω,
πέτασόν τ' ἐσθῆτά τε τὴν γλαυκήν·
ὁ δὲ κἂν ἤγειρ' ἀπὸ τοῦ τύμβου
νεκρὸν ὅς γ' ἤκουσε βοῶντος.

νέος ὢν ᾤκει παρὰ Κενταύρῳ,
ἐλάφων δ' ἐκράτει ταχυτῆτι ποδῶν,
νῦν δ' οἰχόμενος μετὰ τὸν θάνατον
μακάρων νήσοισιν ἐνοικεῖ.

D

THREE JOLLY POSTBOYS.

τρεῖς συνέπινον μέθυ πόθ' ἑταῖροι·
οἱ δ' ὀπὶ μεγάλῃ
παῖδ' ἐπεκάλεσαν,
μεστὸν ἔχοντα κρα-
-τῆρα μέγαν οἴνου.
δὸς ἔτι ποτὸν ἕτερον, ἔτι δὲ τρίτον ἄλλο.
νῦν ἱλαρός ἐγώ . . . [τρίς]
τὸ μετὰ τάδε νήφω.

εἰ μέθυ πίνοις, τότε δὲ καθεύδοις,
εὖ βίον ἂν ἄγοις . . . [τρίς]
μάλα δ' ἀποθάνοις εὖ.
δὸς ἔτι κ.τ.λ.

πᾶς δ' ὑδατοπότης κακὸν ὄνομ' ὤφλεν,
κἀν Στυγὸς ὕδατι . . . [τρίς]
ὑπόβρυχ' ἀπεπνίχθη.
δὸς ἔτι κ.τ.λ.

LULLABY.

εὐδέτω τέκος ὕπνον ἡδύν,
εὐδέτω τὸ γλυκὺ τέκος.
πόπανον ἔχει
τροφὸς ἔτι νῦν,
ἵνα σὺ φάγῃς
μετὰ τὸν ὕπνον.
εὐδέτω τέκος ὕπνον ἡδύν,
εὐδέτω τὸ γλυκὺ τέκος.
σκάφος ἔτι πλεῖ
κατὰ ποταμόν,
ἵνα σὺ πλέῃς
μετὰ τὸν ὕπνον.
εὐδέτω τέκος ὕπνον ἡδύν,
εὐδέτω τὸ γλυκὺ τέκος.
ὅδ' ἔτι μένει
ὁ μέλας ὄνος,
ἵνα σε φέρῃ
μετὰ τὸν ὕπνον.
εὐδέτω .....

THE DEATH OF RAVEY-RAVEN.

1. *τίς αὐτόχειρ ἀπέκτανεν,*
παθὼν μὲν εὖ, κακῶς δὲ δρῶν,
κορει — κορει — κορώνην ;

2. *ἔγωγέ, φησι καρκίνος,*
λαβὼν τράχηλον εὐφιλῶς
κορει — κορει — κορώνης.

3. *τίς ὄμματ' ἀποθανουμένης*
ἔκλεισεν ὡς νόμος λέγει
κορει — κορει — κορώνης ;

4. *ἔγωγέ, φησι βοῦς γελῶν,*
